ΙΣ. εἴσ' οὗπέρ εἰσι· δεινὰ τἀν κείνοις τανῦν.
ΟΙ. ὢ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν τ' ἀπεικασθέντε καὶ βίου τροφάς·
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, ἣν πατὴρ τροφὴν ἔχῃ.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξικνοῦ πατρὶ
μαντεῖ' ἄγουσα πάντα Καδμείων λάθρα
ἃ τοῦδ' ἐχρήσθη σώματος, φύλαξ τέ μου
πιστὴ κατέστης γῆς ὅτ' ἐξηλαυνόμην·
νῦν δ' αὖ τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς

336. *δεινὰ δ' ἐκείνοις* (*ν* sup. *ἐ* ab S.) L. *δεινὰ δ' ἐν κείνοις* aut *δεινὰ τἀκείνοις* B. T. *δεινὰ τἀν κείνοις* Schaefer. ex schol. *νῦν δὲ τὰ ἐν ἐκείνοις δεινά ἐστιν.* Cf. El. 924. *τἀκείνου δέ σοι σωτήρι' ἔρρει.*

337—343. Versus suspecti Meinekio.

338. *φύσιν κατεικασθέντε* mss. Lege *φύσιν τ' ἀπεικασθέντε.*

350. *καύμασι* K. *καύμασιν* B. L.

352. *εἰ — τροφὴν ἔχοι* A. *εἰ — τροφὴν ἔχει* (sup. *οι*) B. K. L. Qu. *εἰ — ἕξει τροφήν.*

355. *δέ μου* mss. *τέ μου* Elmsl. *δέ μοι* Jebb.

358. Qu. *τίνα δ' ἐξῆρας οἴκοθεν στόλον;* coll. Aesch. Ag. 563. *εὐσταλῆ καὶ λεκτὸν ἄρουμεν στόλον;*